ἄνθρακας ἐν αὐτῷ γίνεσθαι. ἐκεῖ γάρ φησιν ὁ ἄνθραξ, καὶ ὁ λίθος ὁ πράσινος. ἡ δὲ δυνάμις φασὶ τοῦ λίθου, δηλαδὴ τοῦ σμαράγδου, πρὸς τὸ ἐνοπτρίζεσθαι πρόσωπον. λέγεται δὲ ὅτι παρὰ τοῖς μυθοποιοῖς προγνωστικὸς ἦν.

Δ.

Λίθος ἄνθραξ. οὗτος εἶδος † ξυφοίνικον ἔχει. γίνεται δὲ ἐν Καρχηδόνι τῇ Λιβύῃ, ἥτις Ἀφρικὴ καλεῖται. ἕτεροι δέ φασι τὸν λίθον τοῦτον οὕτως εὑρίσκεσθαι, οὐκ ἐν ἡμέρᾳ καθορώμενον· ἀλλὰ κατὰ τὴν νύκτα πόρρωθεν δίκην λαμπάδος, ἢ ἄνθρακος σπινθηρίζοντος, καὶ ὡς μακρόθεν φαινομένου. κἀκ τούτου ἐπιγινώσκοντες, οἱ τοῦτον ἀνερευνῶντες, ῥᾳδίως εὑρίσκουσιν αὐτόν. βαστάζόμενον δὲ ἀδύνατον διαλαθεῖν, ὁποίοις γὰρ ἂν ἱματίοις κατακρυβῇ, ἡ αὐταύγεια αὐτοῦ ἔξωθεν τῆς περιβολῆς φαίνεται: ὅθεν ὅτι ἄνθραξ κέκληται. ὀλίγον δὲ ὁ κεραύνιος λίθος αὐτῷ ἔοικε. καλοῦσι δὲ τὸν κεραύνιον, οἰνωπόν. ἔστι δὲ ὁ † χαλκηδόνιος καλούμενος λίθος παραπλήσιος τούτῳ, ὅτι ἐκ τοῦ αὐτοῦ τόπου εὑρίσκεται.

† φοινικῶν forte, vel ὀξυφοίνικος

† καρχηδόνιος.

λίθος